# ΚΥΡΙΑΚΗ Γ′ ἀπὸ τοῦ ΠΑΣΧΑ

## Τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἡ Ἀνάστασις



*1. Εἰκὼν Γεωργιανῆς τέχνης (χρονολογία ἄγνωστος).*

**Ἀπολυτίκιον.** Ἦχος β′.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ Ζωὴ ἡ ἀθάνατος, τότε τὸν ᾅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα Σοι.

* * *

**Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ τρίτῃ ἀπὸ τοῦ Πάσχα, τὴν τῶν Ἁγίων Γυναικῶν Μυροφόρων ἑορτὴν ἑορτάζομεν· ἔτι δὲ μνείαν ποιούμεθα καὶ τοῦ ἐξ Ἀριμαθαίας Ἰωσήφ, ὃς ἦν Μαθητὴς κεκρυμμένος, πρὸς δὲ καὶ τοῦ νυκτερινοῦ Μαθητοῦ Νικοδήμου.**

**Στίχοι.**

Χριστῷ φέρουσιν αἱ Μαθήτριαι μύρα.
Ἐγὼ δὲ ταύταις ὕμνον, ὡς μύρον φέρω.

**Ἀπολυτίκιον τῶν Μυροφόρων.** Ἦχος β′.

Ὁ εὐσχήμων Ἰωσήφ, ἀπὸ τοῦ ξύλου καθελών, τὸ ἄχραντόν Σου Σῶμα, σινδόνι καθαρᾷ, εἱλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο· ἀλλὰ τριήμερος ἀνέστης, Κύριε, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

**Ἕτερον.** Ἦχος β′.

Ταῖς Μυροφόροις Γυναιξί, παρὰ τὸ Μνῆμα ἐπιστάς, ὁ Ἄγγελος ἐβόα· Τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια· Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος· ἀλλὰ κραυγάσατε· Ἀνέστη ὁ Κύριος, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

**Κοντάκιον.** Ἦχος β′. Αὐτόμελον.

Τὸ Χαῖρε ταῖς Μυροφόροις φθεγξάμενος, τὸν θρῆνον τῆς προμήτορος Εὔας κατέπαυσας, τῇ Ἀναστάσει Σου, Χριστὲ ὁ Θεός· τοῖς Ἀποστόλοις δὲ τοῖς Σοῖς κηρύττειν ἐπέταξας· ὁ Σωτὴρ ἐξανέστη τοῦ Μνήματος.



*Τοιχογραφία (1546/7), Ἱ. Μ. Διονυσίου, Ἄθω.*

# Τῇ Κυριακῇ τῶν Μυροφόρων

*(Πράξ. ς´ 1-7· Μάρκ. ιε´ 43-ις´ 8)*

**Περὶ** τὰς ἀρχὰς τοῦ λβ´ ἔτους, ὅτε ὁ Ἰησοῦς περιήρχετο τὴν Γαλιλαίαν κηρύττων καὶ θαυματουργῶν, πολλαὶ γυναῖκες, εὐεργετηθεῖσαι παρ᾽ Αὐτοῦ, κατέλιπον τὴν οἰκείαν πατρίδα· καὶ ἀκολουθοῦσαι εἰς τὸ ἑξῆς κατόπιν, διηκόνουν Αὐτῷ ἀπὸ τῶν ὑπαρχόντων αὐταῖς, ἕως ἐπὶ τοῦ Σταυροῦ καὶ τοῦ Τάφου, ὅπου καὶ ἦλθον ἔπειτα, φέρουσαι τὰς πρὸς ἄλειψιν τοῦ Δεσποτικοῦ Σώματος ἑτοιμασθέντα μύρα. **Ἐ**κ τούτων οὖν τῶν μύρων, ἅπερ ἔφερον αἱ θεοφιλεῖς αὗται γυναῖκες εἰς τὸν Τάφον τοῦ Ἰησοῦ, ἐπωνομάσθησαν Μυροφόροι· καὶ αἱ μὲν ἐξ ὀνόματος γνωσταὶ εἰσί, Μαρία ἡ Μαγδαληνή, Μαρία ἡ τοῦ Ἰακώβου καὶ Ἰωσῆ μήτηρ, ἥτις καὶ Μαρία τοῦ Κλωπᾶ λέγεται, Ἰωάννα γυνὴ Χουζᾶ, ἐπιτρόπου Ἡρώδου τοῦ Ἀντίπα, Σαλώμη ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου, καὶ Σωσάννα· τῶν δὲ λοιπῶν τὰ ὀνόματα ἀπεσιωπήθησαν ὑπὸ τῶν Εὐαγγελιστῶν. **Κ**αὶ αὗται μεν αἱ Μυροφόροι.

**Σ**υνεορτάζονται δὲ μετ᾽ αὐτῶν καὶ οἱ πρώην κεκρυμμένοι τοῦ Σωτῆρος μαθηταὶ Ἰωσὴφ καὶ Νικόδημος, ὧν ὁ μὲν Νικόδημος ἦν πιθανῶς Ἱεροσολυμίτης τὴν πατρίδα, ἄρχων τῶν Ἰουδαίων κατὰ τὸ ἀξίωμα, φαρισαῖος τὸ τάγμα, νομομαθὴς καὶ πεπαιδευμένος τὰς ἁγίας Γραφάς, πιστεύσας εἰς τὸν Χριστόν, ὅτε ἐν ἀρχῇ τοῦ σωτηρίου κηρύγματος ὑπῆγε πρὸς Αὐτὸν τὴν νύκτα. **Ε**ἰς δὲ τὸν ἐνταφιασμὸν Αὐτοῦ ἦλθε φέρων σμύρνης καὶ ἀλόης μῖγμα ἀρωματιστικὸν ὁμοῦ καὶ βαλσαμωτικόν, ἕως ἑκατὸν λίτρας, δεῖγμα εὐλαβείας καὶ ἀγάπης πρὸς τὸν θεῖον Διδάσκαλον. **Ὁ** δὲ Ἰωσὴφ ἦν ἐκ πόλεως Ἀριμαθείας, ἀνὴρ πλούσιος καὶ εὐγενὴς καὶ εἷς τῶν βουλευτῶν τῶν ἐν Ἱεροσολύμοις. **Ο**ὗτος τολμήσας εἰσῆλθε πρὸς Πιλᾶτον καὶ αἰτήσας τὸ Σῶμα τοῦ Ἰησοῦ ἐκήδευσεν αὐτὸ μετὰ τοῦ Νικοδήμου. **Λ**έγουσι δέ τινες, ὅτι ὁ ἐν Γολγοθᾷ κῆπος, ὅπου ἐτάφη ὁ Ἰησοῦς, ἦν τοῦ Ἰωσὴφ τούτου κτῆμα, ἐν ᾧ εἶχε καὶ τὸν ἑαυτοῦ τάφον ἕτοιμον, ἐσκαμμένον εἰς πέτραν μὴ συγχωροῦντος δὲ τοῦ καιροῦ τὴν ἑτοιμασίαν ἑτέρου τάφου, ἔθηκεν ἐκεῖ τὸ Σῶμα τοῦ Ἰησοῦ. **Τ**οῦτο φαίνεται ὅτι ἐννοεῖ καὶ ὁ Εὐαγγελιστὴς λέγων· Καὶ ἔθηκεν Αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ, ὃ ἐλατόμησεν ἐν τῇ πέτρᾳ· κατὰ τὸν ἱερὸν Ματθαῖον.

❖